

# 18 APRILIE
# SLUJBA
# SF.MUCENIC
# IOAN DE LA IOANINA

www.tezaurliturgic.ro

# ΑΠΡΙΛΙΟΥ ΙΗ΄

## Μνήμη τοῦ Ἁγίου ἐνδόξου Νεομάρτυρος

## ΙΩΑΝΝΟΥ

## τοῦ ἐξ Ἰωαννίνων

ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ΄, καὶ ψάλλομεν τὰ ἑξῆς

Προσόμοια.

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Δεῦτε φιλομάρτυρες, χαρμονικῶς ἑορτάσωμεν, Ἰωάννου τοῦ μάκαρος, τὴν μνήμην τὴν ἔνδοξον, τοῦ ὑστέροις χρόνοις, λαμπρῶς ἠθληκότος, ὑπὲρ τῆς πίστεως Χριστοῦ, καὶ καθελόντος ἐχθροῦ τὸ φρύαγμα, καὶ πρὸς αὐτὸν βοήσωμεν· Ἰωαννίνων ἀγλάϊσμα, Ἀθλητὰ ὤφθης ἄριστον, ὡς αὐτῶν θεῖον βλάστημα.

Πόθῳ πυρπολούμενος, τῷ τοῦ Σωτῆρος Πανεύφημε, πρὸς ἀγῶνας ἀθλήσεως, στερρῶς προσεχώρησας, ἐν πολλῇ ἀνδρείᾳ, μὴ πτήξας βασάνους, μηδὲ τὴν φλόγα τοῦ πυρός, ἀλλὰ [illegible]ζων Χριστοῦ τὴν ἔγερσιν, ὡς θῦμα προσε[illegible]ξαι, καὶ ἱερὸν ὁλοκαύτωμα, ἐν αὐτῷ τε[illegible]μενος, Ἰωάννη τῷ Κτίστῃ σου.

Ἄνθος τῆς νεότητος, καὶ τὰ τερπνὰ τὰ ἐπίγεια, ὥσπερ χόρτον λελόγισαι, ἅλοὺς θείῳ ἔρωτι, Ἰωάννη μάκαρ, καὶ Μαρτύρων δρόμον, [illegible] σθένει θεϊκῷ, καταπαλαίσας τὸν παναλάστορα· διὸ τῆς ἀφθαρσίας σε, νικητικῷ διαδήματι, ὁ Χριστὸς ἐστεφάνωσεν, ὁ λαμπρῶς θαυμαστώσας σε.

Πόλις ἐπαγάλλεται, Ἰωαννίνων καὶ τέρπεται, τῇ ἁγίᾳ ἀθλήσει σου· φυτὸν γὰρ ὡς [illegible]μον, καὶ πάγκαρπον δένδρον, καὶ ὡραῖον ὅλως, ἐβλάστησέ σε Ἀθλητά, καὶ τῷ Σωτῆρι δῶρον ὡς ἔμψυχον, καὶ θῦμα ἱερώτατον, ἐν Βυζαντίῳ ἀθλήσαντα, ἱερῶς προσενήνοχεν, Ἰωάννη πανεύφημε.

Δόξα... Ἦχος β΄.

Μαρτυρικὴν ἀνδρείαν ἐπιδειξάμενος, ἐν νεότητι σώματος, μαρτυρικῶς ἠγωνίσω, ἐν ὑστέροις καιροῖς, Ἰωάννη μακάριε· καὶ τῇ σῇ ἀθλήσει, τῶν μὲν πιστῶν τὰς ψυχὰς ἐστήριξας, τῶν δὲ ἀπίστων τὰς φρένας, αἰσχύνης ἔπλησας· Χριστὸν γὰρ ἐδόξασας, τὸν θαύμασι πολλοῖς σε δοξάσαντα.

Καὶ νῦν... Τῆς Ἑορτῆς ἢ τὸ Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου...

Ἀπόστιχα.

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Μάρτυς περιφανής, Χριστοῦ τοῦ βασιλέως, ἐδείχθης Ἰωάννη, ὑπὲρ αὐτοῦ προθύμως, ἀθλήσας θείῳ ἔρωτι.

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει...

Φέρων ἐν τῇ ψυχῇ, τὸ πῦρ τὸ ζωηφόρον, πυρὸς ἐνύλου καῦσιν, καρδίᾳ γηθομένῃ, ὑπέμεινας μακάριε.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Βρύουσι θαυμαστῶς, ἰάματα τοῖς πᾶσι, τὰ λείψανά σου Μάρτυς, πλουσίως δοξασθέντα, τοῦ Πνεύματος τῇ χάριτι.

www.tezaurliturgic.ro



Δόξα... Τριαδικόν.

Δύναμιν παρὰ σοῦ, λαβὼν Τριὰς Ἁγία, ὁ Μάρτυς Ἰωάννης, ἐπάτησεν ἀνδρείως, τῆς πλάνης τὰ βουλεύματα.

Καὶ νῦν... Θεοτοκίον.

Χαίρων τοῦ σοῦ Υἱοῦ, τὴν ἔγερσιν δοξάζει, ὁ Μάρτυς Ἰωάννης, Παρθένε Θεοτόκε, ἄθλων καρτερικώτατα.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ ἀπόλυσις.

---

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τό, Μακάριος ἀνήρ. Εἰς δὲ τό, Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ϛ΄, καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τοῦ Ἁγίου.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Ἔχων τῆς ἀγάπης τοῦ Χριστοῦ, ἐν τῇ καθαρᾷ σου καρδίᾳ, τὸ πῦρ τὸ ἄϋλον, πρὸς τὸ τῆς ἀθλήσεως, ἅγιον στάδιον, γηθοσύνως ἐχώρησας, νεότητος ὥραν, καὶ πάντα τὰ γήϊνα, λιπὼν ὡς πρόσκαιρα· ὅθεν καὶ νομίμως ἀθλήσας, ᾔσχυνας τῆς πλάνης τὸ κράτος, Μάρτυς Ἰωάννη χαριτώνυμε.

Ὢ τῆς μακαρίας σου φωνῆς! σὺ γὰρ ἐν πολλῇ παρρησίᾳ, Χριστὸν ἐκήρυξας, καὶ αὐτοῦ ἀνύμνησας, εὐφήμῳ στόματι, τὴν ἁγίαν Ἀνάστασιν, τῶν ἐχθρῶν ἐν μέσῳ, καὶ τούτων ἐφίμωσας, τὸ στόμα Ἅγιε· ὅθεν πάντα πόνον ἐνέγκας, ὤφθης Ἀθλητὰ Ἰωάννη, Μάρτυς τοῦ Σωτῆρος ἀκαθαίρετος.

Χαίρων καθυπέστης ἀνδρικῶς, ἐν ἀγαλλιάσει καρδίας, ἀξιοθαύμαστε, τὴν δριμεῖαν ἔκκαυσιν, πυρὸς τοῦ βρέμοντος, δρόσον θείαν δεχόμενος, ἰσχύος Κυρίου, καὶ ὡς θῦμα τέλειον, καὶ προσφορὰ ἐκλεκτή, τούτῳ Ἰωάννη προσήχθης, παρ' οὗ καὶ λαμπρῶς ἐδοξάσθης, ἰαμάτων χάρισι τοῖς πέρασι.

Προσόμοια ἕτερα.

Ἦχος δ΄. Ὁ ἐξ ὑψίστου κληθείς.

Ὁ τῶν Μαρτύρων τὸν ζῆλον κεκτημένος, ὅτε πρὸς τὰ σκάμματα, τὰ τῆς ἀθλήσεως, ἀνδρειοφρόνως εἰσέδραμες, ἐνδεδυμένος, τὴν δυναστείαν τοῦ Παντοκράτορος, τότε ὡμολόγησας Χριστοῦ τὴν σάρκωσιν, καὶ τὴν ἀπάτην κατῄσχυνας, σαρκὸς μὴ δείσας, τὰ πολυώδυνα κολαστήρια, καὶ θριαμβεύσας τῇ ἐνστάσει σου, τοῦ ἐχθροῦ τὴν παράταξιν ἔνδοξε, Ἰωάννη παμμάκαρ, μαρτυρίου στέφος εἴληφας.

Ὁ ἐν τῇ πόλει τοῦ Βύζαντος ἀθλήσας, ὅτε τὴν οὐράνιον, δρόσον τοῦ Πνεύματος, ἐν τῇ ψυχῇ σου εἰσδέδεξαι, τὸν νοῦν σου πάσης, τῆς τῶν γηΐνων χωρίσας σχέσεως, τότε ἀγαλλόμενος τὸ πῦρ ὑπέμεινας, καὶ τῆς ἀπάτης κατέφλεξας, τὴν ὕλην πᾶσαν, μὴ δειλιάσας πόνους τοῦ σώματος, καὶ προσηνέχθης τῷ Θεῷ ἡμῶν, προσφορὰ ὡς εὐώδης καὶ ἄμωμος, καὶ σεπτὸν ἱερεῖον, Ἰωάννη παμμακάριστε.

Ἰωαννίνων τὸ ἄνθος τὸ ὡραῖον, Μαρτύρων ὁ σύναθλος, καὶ ἰσοστάσιος, ἡ μυροθήκη ἡ ἔμψυχος, ἔρωτος θείου, τὸ τῆς ἁγνείας θεῖον ἀλάβαστρον, ὑμνείσθω ἐν ᾄσμασιν ἐνθέοις σήμερον, ὁ Ἰωάννης ὁ ἔνδοξος, ὁ στρατιώτης, Χριστοῦ ὁ νέος καὶ ἀκατάπληκτος, ὁ καταπλήξας τὸν ἀντίπαλον, τῇ αὐτοῦ εὐσθενείᾳ καὶ χάριτι, καὶ πρεσβεύων δοθῆναι, ἱλασμὸν ἡμῖν καὶ ἔλεος.

Δόξα... Ἦχος πλ. β΄.

Σήμερον ὁ Νεομάρτυς Ἰωάννης, ὡς ἄνθος ὤφθη νοητόν, ἐν τῇ τοῦ ἔαρος ὥρᾳ, καὶ τῶν πιστῶν εὐφραίνει τὰς ψυχάς, τῶν αὐτοῦ χαρίτων τῇ εὐπνοίᾳ· ἀθλητικὸν γὰρ ἀνύσας στάδιον, πρὸς εὐφροσύνην ἑόρτιον συγκαλεῖται ἡμᾶς, βοῆσαι αὐτῷ· χαίροις τῶν πάλαι Μαρτύρων μιμητής, ὡς τοῖς ἴχνεσιν αὐτῶν βαδίσας, καὶ τῆς εὐκλείας κοινωνός· χαίροις ὁ διὰ πυρὸς τελέσας τὸν ἀγῶνα, καὶ τῷ φωτὶ τῶν ἄθλων σου, καταυγάζων τὴν κτίσιν· χαίροις Ἰωαννίνων βλαστός, καὶ κλέος ἱερόν, καὶ πρὸς Χριστὸν μεσίτης θερμότατος· Ὢ πρέσβευε ἐκτενῶς, ὑπὲρ τῶν τιμώντων σε

Καὶ νῦν... Τῆς Ἑορτῆς, ἢ τὸ ἑξῆς Δογματικόν.

Ὁ αὐτός.

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε, τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς Μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύ-

www.tezaurliturgic.ro



σει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.**

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

**(Κεφ. μγ', 9).**

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ Μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

**(Κεφ. γ', 1).**

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

**(Κεφ. ε', 15).**

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτήν, Ἰδιόμελα.

**Ἦχος α'.**

Ἀγάλλου ἐν Κυρίῳ, Ἰωαννίνων ἡ πόλις, Ἰωάννην βλαστήσασα, τὸν λαμπρὸν Νεομάρτυρα· θείῳ γὰρ ἔρωτι συσχεθείς, νεότητος ἄνθος ὑπερεῖδε, καὶ ἀνδρείῳ ὑπῆλθε νοΐ, τὸ τῆς ἀθλήσεως μέγα στάδιον· ἐν ᾧ τῶν μὲν ἐχθρῶν καθεῖλε τὴν δύναμιν, τῆς εὐσεβείας δὲ τὸ κράτος, ἄθλοις οἰκείοις ἐδόξασε· καὶ τῶν βραβείων τῆς νίκης τυχών, σὺν Ἀγγέλοις πρεσβεύει, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Ἦχος β'.**

Τῆς ἀληθείας τὴν δόξαν, ἐκφαίνων τοῖς τρόποις σου, νεανίας εὐπρεπὴς ὡράθης, τῷ μὲν

www.tezaurliturgic.ro



εἴδει περίβλεπτος, τῇ δὲ ψυχῇ θεόληπτος· ἡ γὰρ χάρις τοῦ Πνεύματος, τῶν ἐν κόσμῳ ἡδέων ὡς φθαρτῶν, ξένον σε εἰργάσατο· ὅθεν τὸν Σταυρὸν Χριστοῦ ἀράμενος, ἀθλητικῶς αὐτῷ ἠκολούθησας, καὶ περιφανῶς ἠγωνίσω, κατὰ τῆς ἀσεβείας· καὶ ἐν ποιναῖς δοκιμασθείς, καὶ ἐν πυρὶ δοκιμώτερος χρυσίου εὑρεθείς, μαρτυρικῆς εὐκληρίας, ἀξίως ἐπέβης. Ἀλλ' ὦ Νεομάρτυς μακάριε, Ἰωάννη ἔνδοξε, Χριστὸν ἐκδυσώπησον, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ΄.

Ἐν τοῖς ὅπλοις τῆς πίστεως, τὸν ἀρχαῖον κατηγωνίσω δράκοντα, ἐν νεότητι σώματος, καὶ ἀνδρείᾳ ψυχῆς, Ἰωάννη Μάρτυς ἔνδοξε· τὴν γὰρ ἔφοδον αὐτοῦ, ἀπεκρούσω εὐσθενῶς, τὴν καλὴν ὁμολογίαν ὁμολογῶν, καὶ τὸν θεῖον ἆθλον ἀγωνιζόμενος· καὶ ῥιφθεὶς ἐν τῷ πυρί, ἀκαταπλήκτῳ φρονήματι, πρὸς τὸ φῶς ἐξεδήμησας, τῆς ἀθανάτου ζωῆς, μαρτυρικῶς στεφανούμενος. Ἀλλ' ὦ Μαρτύρων καύχημα, σὺν αὐτοῖς ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ΄.

Ὡς Μάρτυς ἀήττητος, τῶν παθημάτων τοῦ Χριστοῦ, τῆς Ἀναστάσεως αὐτοῦ τὴν λαμπρότητα, ἐκληρονόμησας ἔνδοξε· σὺ γὰρ νομίμως ἐναθλῶν, ἀπειλὰς τυράννων οὐκ ἐπτόησαι, Χριστὸς ἀνέστη ᾄδων, καὶ τοῦ ἐχθροῦ συντρίβων τὴν ἰσχύν, ἀντιτυπίᾳ τῶν ἄθλων σου· καὶ ὁλοκαύτωμα ἅγιον, τῷ ἀθλοθέτῃ προσενήνεξαι, ἐν τῷ πυρὶ τελειούμενος, Ἰωάννη μακάριε· διὸ τὴν ἁγίαν σου, γεραίρομεν ἄθλησιν.

Δόξα... Ὁ αὐτός.

Ὡς ὁλικῶς Χριστὸν ἀγαπήσας, ὑπὲρ αὐτοῦ τὴν ζωήν σου προθύμως ἔθυσας, Ἰωάννη χαριτώνυμε· διὸ χαρίτων πολλῶν ἠξιώθης, καὶ θαυμάτων δωρεαῖς, πλουσίως ἐδοξάσθης· τὰ γὰρ θεῖά σου λείψανα, ἀσθενοῦντας θεραπεύουσι, καὶ κινδύνων ῥύονται, τοὺς ἐκζητοῦντας τὴν χάριν σου· ἁγιασμὸν δὲ νέμουσιν ἡμῖν, καὶ παθῶν τὴν ἴασιν.

Καὶ νῦν... Τῆς Ἑορτῆς, ἢ τὸ Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων...

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις Ἰωαννίνων βλαστός, ὁ τῶν Μαρτύρων κοινωνὸς καὶ ἰσότιμος· αὐτῶν γὰρ τὸν ζῆλον φέρων, ἀκαταπλήκτῳ ψυχῇ, καὶ ἀνδρείᾳ γνώμῃ ἠνδραγάθησας, καὶ πᾶσαν κατέβαλες, τῶν ἐχθρῶν τὴν παράταξιν, ὑστέροις χρόνοις, τοῦ Σωτῆρος τὸ ὄνομα, τῇ ἀθλήσει σου, μεγαλύνας τὸ ἅγιον· ὅθεν λαμπρῶς δεδόξασαι, μεγάλοις χαρίσμασι, θαυμάτων ῥεῖθρα βλυστάνων, τοῖς προσιοῦσι τῇ σκέπῃ σου, σοφὲ Ἰωάννη, ἐξαιτούμενος τοῖς πᾶσι χάριν καὶ ἔλεος.

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει,

καὶ ὡσεὶ κέδρος...

Χαίροις ὁ Ἀθλητὴς τοῦ Χριστοῦ, Νεομαρτύρων τὸ λαμπρὸν ἀκροθίνιον· ὁ χάριτος ἀναβλύζων, τὸν ἀληθῆ γλυκασμόν, κατὰ τὴν σὴν κλῆσιν χαριτώνυμε· ὁ νέῳ μὲν σώματι, πολιῷ δὲ φρονήματι, καταπαλαίσας, τὸν ἀρχέκακον δράκοντα, καὶ τῆς πίστεως, φανερώσας τὴν δύναμιν· ὅθεν στερρῶς ὑπήνεγκας, φλογὸς τὴν κατάφλεξιν, καὶ ἀφθαρσίας πρὸς φέγγος, τροπαιοφόρος ἀνέδραμες, κλεινὲ Ἰωάννη, ἐξαιτούμενος τοῖς πᾶσι, τὸ μέγα ἔλεος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Ὅλην τῶν διωκτῶν τὴν ὁρμήν, καθυπομείνας ὥσπερ τεῖχος ἀσάλευτον, μαστίγων ὑπέστης πεῖραν, καὶ τῆς εἱρκτῆς τὴν ποινήν, ἐν χαρᾷ κρυφίᾳ χαριτώνυμε· εἰς πῦρ τὸ παμφάγον δέ, προσριφεὶς ἀπηνέστατα, ὡλοκαυτώθης, τῷ Χριστῷ ὡς θυμίαμα, καὶ κατηύφρανας, Ἐκκλησίας τὸ πλήρωμα. Ὅθεν ὡς στρατιώτην σε, Χριστοῦ γενναιότατον, καὶ Ἀθλητὴν τροπαιοῦχον, ἀνευφημοῦμεν κραυγάζοντες· Σοφὲ Ἰωάννη, τοῖς τιμῶσί σε ἐξαίτει, τὸ θεῖον ἔλεος.

Δόξα... Ἦχος πλ. δ΄.

Ὥσπερ ἄνθραξ νοητός, τοῦ Παρακλήτου τῷ πυρί, καλῶς ἀθλήσας Ἰωάννη, τοὺς πιστοὺς ἐθέρμανας, πρὸς βίον ἔνθεον· διὰ πυρὸς γὰρ Ἅγιε, τὸν ἀγῶνα τελέσας, τῆς φθορᾶς τὸ κάλυμμα ἐξεδύσω, καὶ ὅλος ἠγλαϊσμένος, τῷ Τρισηλίῳ φωτὶ ἀνέδραμες· ᾧ ἀΰλως πυρσευόμενος, σκότους παθῶν ἀπάλλαξον, τοὺς ἑορτάζοντας τὴν μνήμην σου.

www.tezaurliturgic.ro



Καὶ νῦν... Τῆς Ἑορτῆς, ἢ τὸ τῆς Θεοτόκου.

Δέσποινα πρόσδεξαι...

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον. Ἦχος γ΄. Θείας πίστεως.

Γόνος κάλλιστος, Ἰωαννίνων, κλέος ἔνθεον τῆς Ἐκκλησίας, ἀνεδείχθης Ἰωάννη παεύφημε· τῶν γὰρ Μαρτύρων ζηλώσας τὴν ἄθλησιν, διὰ πυρὸς τὸν ἀγῶνα ἐτέλεσας. Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Τῆς Ἑορτῆς, ἢ τὸ Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν...

Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ἀνέτειλας ἡμῖν, ὡς νεόφωτον ἄστρον, ἀθλήσας ἀνδρικῶς, ἐν ὑστέροις τοῖς χρόνοις, καὶ ἅπαντας κατηύγασας, ταῖς ἀκτῖσι τῶν ἄθλων σου· ὅθεν σήμερον, τὴν φωτοφόρον σου μνήμην, ἑορτάζοντες, ὦ Ἰωάννη θεόφρον, Χριστὸν μεγαλύνομεν.

Τῆς Ἑορτῆς, ἢ τὸ ἑξῆς Θεοτοκίον.

Ἀφράστως τὸν Χριστόν, ἐξ ἁγνῶν σου λαγόνων, ἐκύησας ἡμῖν, εὐσπλαγχνίᾳ ἀρρήτῳ, καὶ ἦρας τὸ κατάκριμα, τῶν ἀνθρώπων τῷ τόκῳ σου, Ἀπειρόγαμε, καὶ Ἀειπάρθενε Κόρη, καὶ ἐπήγασας, τῆς εὐλογίας τὰ ῥεῖθρα, τοῖς σὲ μεγαλύνουσι.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ἀπτοήτως κηρύξας Χριστοῦ τὸ ὄνομα, τὰς ἀπειλὰς τῶν τυράννων καὶ τὰς βασάνους σοφέ, καθυπέστης ἀκλινῶς ὡς ἄλλου πάσχοντος, καὶ ῥιφεὶς ἐν τῷ πυρί, καὶ τὴν κάραν ἐκτμηθείς, ἀνῆλθες τροπαιοφόρος, πρὸς οὐρανίους σκηνώσεις, ὦ Ἰωάννη χαριτώνυμε.

Τῆς Ἑορτῆς, ἢ τὸ ἑξῆς Θεοτοκίον.

Ἀπειράνδρως Παρθένε κυοφορήσασα, τὸν Ὑπερούσιον Λόγον εἰς σωτηρίαν ἡμῶν, σωτηρίας ἀπαρχὴ καὶ θεία εἴσοδος, ἀναδέδειξαι ἡμῖν, τοῖς ὑμνοῦσιν εὐσεβῶς, τὴν δόξαν σου Θεοτόκε, καὶ πᾶσι φῶς καὶ εἰρήνην, καὶ χάριν δίδως τῇ πρεσβείᾳ σου.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Χριστὸς ἀνέστη Ἰωάννη κραυγάζων, καὶ τὴν Ἀνάστασιν αὐτοῦ μεγαλύνων, τὸ τῶν Μαρτύρων στάδιον εἰσέδραμες, καὶ ἐχθροὺς κατέπληξας, τῇ ἀτρέπτῳ σου στάσει, καὶ τῇ εὐτολμίᾳ σου, καὶ πολλῇ καρτερίᾳ· τῶν γὰρ δεινῶν ἁπάντων Ἀθλητά, περιεγένου, καὶ ἤθλησας ἄριστα.

Τῆς Ἑορτῆς, ἢ τὸ ἑξῆς Θεοτοκίον.

Χριστὸν τὸν πάντων Βασιλέα καὶ Κτίστην, ὥσπερ Υἱόν σου καὶ Θεὸν Θεοτόκε, ὑπὲρ ἡμῶν ἀπαύστως καθικέτευε, δοῦναι ταῖς ψυχαῖς ἡμῶν, φωτισμὸν καὶ γαλήνην, καὶ πταισμάτων ἄφεσιν, καὶ διόρθωσιν βίου· σὺ γὰρ προστάτις πέφηνας ἡμῶν, καὶ τῇ σῇ σκέπῃ, ἀεὶ καταφεύγομεν.

Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος...

Στίχ. Πεφυτευμένος ἐν οἴκῳ Κυρίου...

Εὐαγγέλιον τὸ ἐν τῷ Ὄρθρῳ τοῦ Ἁγίου Γεωργίου.

Ὁ Ν΄. Δόξα... Ταῖς τοῦ Ἀθλοφόρου...

Καὶ νῦν... Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Σήμερον ὁ Νεομάρτυς Ἰωάννης, τὸν ἀθλητικὸν ἀνύσας ἀγῶνα, ταῖς οὐρανίαις συνηριθμήθη τάξεσι· καὶ τῆς μεγαλοπρεποῦς δόξης, τὸν στέφανον δεξάμενος, τῆς αἰωνίου ζωῆς κληρονόμος γέγονε, καὶ ἡμῖν ἐξαιτεῖται, λύσιν δυσχερῶν, καὶ πταισμάτων ἄφεσιν, παρὰ τοῦ πάντων βασιλεύοντος.

www.tezaurliturgic.ro



Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

**Εἶτα οἱ Κανόνες, τῆς Ἑορτῆς, ἢ τοῦ Πάσχα, ἢ τῆς Θεοτόκου, καὶ τοῦ Ἁγίου ὁ ἑξῆς, οὗ ἡ ἀκροστιχίς·**

«Τὴν Ἰωάννου ἄθλησιν μέλπω. Γερασίμου».

**Ὠδὴ α΄. Ἦχος α΄. Σοῦ ἡ τροπαιοῦχος δεξιά.**

Τάξεσι συνὼν Ἀγγελικαῖς, καὶ τῶν Μαρτύρων τοῖς θείοις στρατεύμασιν, Ἰωάννη ἔνδοξε, καὶ φωτισμοῦ ἀπορρήτου πληρούμενος, φῶς μοι θεῖον αἴτει, ἀνευφημοῦντι τοὺς ἄθλους σου.

Ἤνεγκεν ἡ πόλις σε σοφέ, Ἰωαννίνων ὡς ἄνθος πανεύοσμον· καὶ ὀσμὴν τὴν ἔνθεον, ἐν Βυζαντίῳ ἀθλήσας διέπνευσας, πᾶσαν Ἰωάννη, τὴν Ἐκκλησίαν εὐφραίνουσαν.

Νέος ἀνεδείχθης Ἀθλητής, καὶ στρατιώτης Χριστοῦ ἀκαθαίρετος, ἐν ὑστέροις ἔτεσιν, ἀθλητικῶς ἀριστεύσας μακάριε, καὶ τῆς δυσσεβείας, καταπαλαίσας τὴν δύναμιν.

**Θεοτοκίον.**

Ἵνα τοὺς ἀνθρώπους κοινωνούς, τῆς ἄνω δόξης ποιήσῃς φιλάνθρωπε, ἐκ Παρθένου ἄνθρωπος, δι' εὐσπλαγχνίαν ἐτέχθης ἀμέτρητον, καὶ μετὰ τὸν τόκον, ἁγνὴν αὐτὴν διετήρησας.

**Ὠδὴ γ΄. Ὁ μόνος εἰδώς.**

Ὡς πλήρης συνέσεως πολλῆς, νεάζοντι ἐν σώματι, ἐν καθαρότητι βίου ἔλαμψας, ἀγάπῃ θείᾳ καταλαμπόμενος, Ἰωάννη ἔνδοξε, καὶ ἠθῶν σεμνότητι, εὐσεβείας τὴν χάριν πιστούμενος.

Ἀθλῆσαι θερμῶς ἐπιποθῶν, ὑπὲρ Χριστοῦ μακάριε, πάσης ἐξέκλινας ματαιότητος, τὸν νοῦν πτερώσας τῷ θείῳ ἔρωτι, καὶ τῆς σῆς ἐφέσεως, Ἰωάννη ἔτυχες, καταισχύνας τὸν δόλιον ἥττοντα.

Νεκρώσας τὸ φρόνημα σαρκός, καὶ ἄνθους τῆς νεότητος, καταφρονήσας γνώμῃ θεόφρονι, πρὸς τοὺς ἀγῶνας τοὺς τῆς ἀθλήσεως, ἀνδρείως ἐχώρησας, ἅγιος εἶ Κύριε, ὁ παρέχων δύναμιν ἄνωθεν.

**Θεοτοκίον.**

Ναμάτων πηγὴ ζωοποιῶν, ἐδείχθης Μητροπάρθενε, τὸν τῆς ζωῆς κυήσασα αἴτιον, ζωοποιοῦντα τοὺς σὲ δοξάζοντας· ὅθεν κἀμοὶ ὄμβρησον, ὕδωρ τῆς ἀφέσεως, ἐκκαθαῖρον παθῶν μου τὸν βόρβορον.

**Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Τὴν ἄνωθεν δύναμιν, ἐνδεδυμένος καλῶς, ποινῶν κατεφρόνησας, καὶ ἀπειλῶν καὶ φρουρᾶς, ἀνδρείῳ φρονήματι· ὅθεν καὶ ὡς ἐπέβης, τῷ πυρὶ γηθοσύνως, ἔφλεξας τὴν ἀπάτην, τῷ πυρὶ τῶν σῶν πόνων· διό σε Ἰωάννη, Χριστὸς ἐθαυμάστωσε.

**Τῆς Ἑορτῆς, ἢ τὸ ἑξῆς τῆς Θεοτόκου.**

Τεκοῦσα ἐν σώματι, δίχα τροπῆς καὶ φυρμοῦ, τὸν πάντα ποιήσαντα, καὶ συγκρατοῦντα χειρί, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἔλυσας τὴν κατάραν, τοῦ Ἀδὰμ τὴν ἀρχαίαν, ἔδλυσας δὲ τῇ Εὔᾳ, τὴν χαρὰν τὴν ἀγήρω· διό σε Θεογεννήτορ, ἀπαύστως μεγαλύνομεν.

**Ὠδὴ δ΄. Ὄρος σε τῇ χάριτι.**

Ὅλος ἐνθεώτατος, ἀγάπῃ τῇ κρείττονι, ὡς νεανίας εὐπρεπής, ἐν Βυζαντίῳ ὁραθείς, τοῖς πᾶσιν ἐσήμανας, τὴν ἐσομένην λαμπρότητα ἔνδοξε, ἣν δι' ἀθλήσεως πόνων ἐπλούτησας.

Ὕμνοις τὴν Ἀνάστασιν, Χριστοῦ τοῦ Παντάνακτος, Χριστὸς ἀνέστη ἐκβοῶν, τοῖς συλλαβοῦσί σε κλεινέ, καὶ τούτους ἐξέπληξας, ἀκαταπλήκτῳ ψυχῆς παραστήματι, καὶ τῷ εὐσήμῳ σου στόματι Ἅγιε.

Ἄθλοις χαριτώνυμε, ἁγίοις ἐβάδισας, ἐπὶ τοῖς ἴχνεσι σαφῶς, τῶν πάλαι θείων Ἀθλητῶν, μεθ' ὧν συνδεδόξασαι, ἀθλητικοῖς Ἰωάννη χαρίσμασιν, ὡς ἰσοστάσιος τούτων καὶ σύναθλος.

**Θεοτοκίον.**

Θρόνος ἀνεδείχθης, τοῦ Θεοῦ ὑψηλότατος, ἐν ᾧ καθίσας σαρκικῶς, ὁ ἐξ αἱμάτων σου τεχθείς, τὸν κόπον ἀφείλετο, τῆς ἀνθρωπότητος Κόρη δι' ἔλεος, καὶ ἀληθῆ ἡμῖν δέδωκεν ἄνεσιν.

www.tezaurliturgic.ro



**Ὠδὴ ε΄. Ὁ φωτίσας τῇ ἐλλάμψει.**

Λέοντος ὠρυομένου τοῦ δεινοῦ κοσμοκράτορος, ἔθλασας τὰς σιαγόνας ῥαβδισμοῖς σου τοῦ σώματος, καὶ τυφθεὶς τῷ στόματι σφοδρῶς, τὴν αἴνεσιν προσῆγες, Χριστῷ τῷ σὲ ἐνισχύοντι.

Ἤθλησας ἀνδρειοφρόνως ὑπομείνας τὰ βάσανα, τῷ ἁγίῳ σώματί σου Ἰωάννη ὡς ἔπαρχος, καὶ δεθεὶς ἁλύσεσι σοφέ, ἐν τῇ φρουρᾷ καθείρχθης, Χριστοῦ βαστάζων τὰ στίγματα.

Σὲ τὸν ἄρνα τοῦ Σωτῆρος ὥσπερ λύκοι ἐσπάραττον, οἱ ἀπόγονοι τῆς Ἄγαρ ταῖς ποικίλαις στρεβλώσεσι, καὶ διὰ πυρὸς τῷ Ἰησοῦ, προσῆγόν σε ὡς θῦμα, ὡς οὐκ εἰδότες τί ἔπραττον.

**Θεοτοκίον.**

Ἰατῆρα τῶν ἀνθρώπων καὶ Σωτῆρα κυήσασα, τὸν τὴν πάλαι ἡμῶν πτῶσιν θεραπεύσαντα Ἄχραντε· ὅθεν τὴν νοσοῦσάν μου ψυχήν, θεράπευσον Παρθένε, φαρμάκῳ τῷ τοῦ ἐλέους σου.

**Ὠδὴ ϛ΄. Ἐκύκλωσαν ἡμᾶς.**

Ναμάτων οὐρανίων ὢν ἀνάπλεως, εἰσῆλθες ἀγαλλόμενος, σοφὲ τῇ ἀναφθείσῃ σοι πυρᾷ, καὶ ὡς ἱερεῖον καθαρώτατον, καὶ προσφορά, Χριστῷ προσήχθης τῷ ἀθλοθέτῃ σου.

Μηδόλως πτοηθεὶς πῦρ τὸ ὁμόδουλον, ὡς ἔχων ἐν καρδίᾳ σου, τὸ πῦρ τῆς ἀγαπήσεως Χριστοῦ, ἕστηκας ἐν τούτῳ τελειούμενος, καὶ πρὸς τὸ φῶς, τὸ νοητὸν Μάρτυς ἀνέδραμες.

Ἐν μέσῳ τῆς φλογὸς ῥιφεὶς ἀνύμνησας, Χριστὸν τὸν Ὑπεράγαθον, καὶ ξίφει ἐκτμηθεὶς τὴν κεφαλήν, ῥείθροις τῶν αἱμάτων σου τοὺς ἄνθρακας, τῆς δυσσεβοῦς, παρανομίας Μάρτυς κατέσβεσας.

**Θεοτοκίον.**

Λυχνία θείας δόξης ἡ ἑπτάφωτος, Παρθένε Παναμώμητε, τοῦ ἀδύτου σου φωτὸς ταῖς ἀστραπαῖς, δίωξον τὸ σκότος τῆς καρδίας μου, καὶ πρὸς τὸ φῶς, τῶν ἐντολῶν με τῶν θείων ἄγε (?)ν.

**Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.**

Ὡς τερπνόν σε φοίνικα, Ἰωαννίνων ἡ πόλις, εὐκλεῶς βλαστήσασα, κατατρυφᾷ τῆς σῆς δόξης· πόθῳ γάρ, τῷ τοῦ Δεσπότου λαμπρῶς ἀθλήσας, τέθυσαι, ὡς ὁλοκάρπωμα τῇ Τριάδι· διὰ τοῦτο Ἰωάννη, θαυμάτων βρύεις χάριν ἀέναον.

**Ὁ Οἶκος.**

Κλήσει σαφῶς ἀκολουθῶν, χάριτος ὤφθης σκεῦος, τρόποις καὶ ἤθεσι σεμνοῖς, καὶ καθαρότητι ζωῆς, κλεινὲ κεκοσμημένος· καὶ τῇ θείᾳ χαριτωθεὶς ἀγάπῃ, τὸ αἷμά σου ὑπὲρ Χριστοῦ, προείλου ὅλῃ τῇ ψυχῇ, ἐκχέαι Ἰωάννη· ἔνθεν μαρτυρικῷ ἀναφλεχθεὶς ζήλῳ, πρὸς μαρτυρίου ἀπεδύσω ἀγῶνας, νεότητος ἄνθος, καὶ κόσμου ἡδέα ὑπεριδὼν ὡς φθειρόμενα· καὶ Χριστὸν ὁμολογήσας, ᾔσχυνας τῆς πλάνης τὴν ὀφρύν, καὶ πλείστοις προσωμίλησας βασάνοις, ἀπεριτρέπτῳ φρονήματι· καὶ ἐν πυρᾷ ὠμοτάτως ῥιφείς, καὶ ἐν αὐτῇ τὸν αὐχένα τμηθείς, ὡς θῦμα εὐπρόσδεκτον, καὶ προσφορὰ τελειοτάτη, καὶ θυμίαμα εὔοσμον τῷ Χριστῷ προσηνέχθης· παρ᾽ οὗ λαμπρῶς δοξασθείς, θαυμάτων βρύεις χάριν ἀέναον.

**Συναξάριον.**

Τῇ ιη΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου ἐνδόξου Νεομάρτυρος Ἰωάννου τοῦ ἐξ Ἰωαννίνων, ἐν Κωνσταντινουπόλει μαρτυρήσαντος ἐν ἔτει αφκστ΄ (1526), καὶ πυρὶ καὶ ξίφει τελειωθέντος.

**Στίχοι.** Βληθεὶς καμίνου ἐν μέσῳ Ἰωάννη
Χριστῷ προσῆδες ὕμνον εὐχαριστίας.

Δεκάτ᾽ Ἰωάννης ὀγδοάτῃ δέμας ἀπηνῶς καύθη.

Οὗτος ὁ νέος τοῦ Χριστοῦ ἀθλητής, Ἰωάννης ὁ χαριτώνυμος, πατρίδα ἔσχε τὴν τῶν Ἰωαννίνων περιφανῆ πόλιν, γεννηθεὶς ἐκ γονέων εὐσεβῶν καὶ φιλοθέων, ἐν ἀρχαῖς τοῦ ἕκτου καὶ δεκάτου αἰῶνος, ὑφ᾽ ὧν ἐν πάσῃ εὐσεβείᾳ καὶ ἤθεσι χρηστοῖς, καὶ τῇ πρὸς Χριστὸν ἀγάπῃ ἀνήχθη. Ἦν δὲ εὐπρεπὴς καὶ περικαλλὴς τῇ ὄψει, ὥρᾳ νεότητος, καὶ ἀκμῇ ἡλικίας ἀκμάζων, τὴν τῶν ῥαπτῶν ἐκπαιδευθεὶς τέχνην. Θανόντων τῶν τοκέων, μεταβέβηκεν ἐν τῇ τοῦ Κωνσταντίνου πόλει, ζῶν εὐσεβῶς, καὶ διαπύρῳ φλεγόμενος ἔρωτι μαρτυρῆσαι ὑπὲρ Χριστοῦ, ὃ καὶ γέγονε· φθονηθεὶς γὰρ ὑπὸ τῶν Ἀγαρηνῶν, παρεδόθη τῷ ἑαυτῶν κριτῇ, ᾧ πεπαρρησιασμένῳ στόματι καὶ λαμπρᾷ τῇ φωνῇ ὡμολόγησε τὸ τοῦ Σωτῆρος ὄνομα, καταισχύνας τὸν τῆς πλάνης ἀρχηγέτην. Πολυειδῶς δὲ αἰκισθείς, καὶ ἐν

www.tezaurliturgic.ro



φρουρᾷ καθειρχθείς, τελευταῖον παρεδόθη τῷ πυρί, ἐν ᾧ τὴν κεφαλὴν ἐτμήθη, τῇ Παρασκευῇ τῆς Διακαινησίμου, ἐν πολλῇ χαρᾷ ψάλλων τό, Χριστὸς ἀνέστη, ἐν ἔτει ͵αφκστ΄ (1526), καὶ οὕτως ἐτελειώθη ἡ μαρτυρία αὐτοῦ. Πλεῖστα δὲ θαύματα καὶ ἰάσεις ἐνήργησε τὰ τίμια αὐτοῦ λείψανα ἐν Ναυπλίῳ, Βενετίᾳ καὶ Κρήτῃ, ὡς ἡ περὶ αὐτοῦ ἱστορία ἐν πλάτει διέξεισι.

Ταῖς αὐτοῦ πρεσβείαις Χριστὲ ὁ Θεός, καὶ πάντων σου τῶν Ἁγίων, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

### Ὠδὴ ζ΄. Σὲ νοητήν.

Πλήρης χαρᾶς, πρὸς τὸ πῦρ εἰσέδραμες, Χριστὸς ἀνέστη ἐκφωνῶν, καὶ τὴν κάραν ξίφει τμηθείς, τὸ τῆς Ἀναστάσεως, φέγγος τὸ ἀνέσπερον, θεουργικῶς κατεπλούτησας, ἀριθμηθεὶς Ἰωάννη, Μαρτύρων τοῖς στρατεύμασι.

Ὡς Ἀθλητής, τοῦ Χριστοῦ περίδοξος, θαυμάτων βλύζεις δωρεάς, καὶ ἰᾶσαι παντοδαπά, πάθη καὶ νοσήματα, Ἰωάννη ἔνδοξε, τῶν προσιόντων ἑκάστοτε, τοῖς ἱεροῖς σου λειψάνοις, χαριτωθεῖσι Πνεύματι.

Γόνον λαμπρόν, καὶ θεῖον ἀγλάϊσμα, καὶ πρὸς Χριστόν σε πρεσβευτήν, Ἰωαννίνων ἡ εὐκλεής, πόλις Μάρτυς ἔχουσα, τῇ σῇ ἐναβρύνεται, στερρᾷ ἀθλήσει κραυγάζουσα· χαῖρε κλεινὲ Ἰωάννη, Νεομαρτύρων καύχημα.

### Θεοτοκίον.

Ἐκ τῶν ἁγνῶν, τίκτεται αἱμάτων σου, ὁ Ὑπερούσιος Θεός, ἀναπλάττων ἐκ τῆς ἀρᾶς, τὸν πεσόντα ἄνθρωπον, πλούτῳ ἀγαθότητος, Παμμακαρίτωτε Δέσποινα· ὃν μητρικῶς ἐκδυσώπει, ὑπὲρ τῶν εὐφημούντων σε.

### Ὠδὴ η΄. Ἐν καμίνῳ Παῖδες.

Ρωμαλέως ὥρμησας σοφέ, ὡς θεῖος νεανίας, τοῖς ἄθλοις τοῦ μαρτυρίου, Ἰωάννη καὶ φωνῇ λαμπρᾷ ἀνεκραύγαζες· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἀπειλὰς καὶ μάστιγας πικράς, καὶ δωρεὰς ποικίλας, προέτεινόν σοι θεόφρον, οἱ ἐχθροί, ἀλλ' ἀκλινεῖ, ψυχῇ ἀνεκραύγαζες· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Στρατευθεὶς Χριστῷ μαρτυρικῶς, τοῖς ὅπλοις τῆς εὐσεβείας, κατηκόντισας ἐχθρού, κραυγάζων τὰς φάλαγγας· Σὲ δοξάζω Σωτήρ μου τὸν ἀναστάντα, καὶ δύναμίν μοι θείαν, δόντα ἐκνικῆσαι, Βελίαρ τὰς δυνάμεις.

### Θεοτοκίον.

Ἱλασμὸν καὶ ἴασιν παθῶν, ἐξαίτει μοι Παρθένε, καὶ φῶς τῇ ψυχῇ μου δίδου, ἵνα φύγω τοῦ ἐχθροῦ, τὸν ζόφον κραυγάζων σοι· χαῖρε Κόρη μόνη εὐλογημένη· χαῖρε ἡ τετοκυῖα, Θεὸν σεσαρκωμένον, βροτῶν εἰς σωτηρίαν.

### Ὠδὴ θ΄. Τύπον τῆς ἁγνῆς.

Μάρτυς τοῦ Χριστοῦ πανάριστε, Ἰωαννίνων ἔνθεον ἐγκαλλώπισμα, σκέπε πάντοτε, τὴν σὴν πατρίδα καὶ φύλαττε, καὶ σὺν ταύτῃ τὴν Ἤπειρον ἅπασαν, παμμάκαρ Ἰωάννη, ταῖς σαῖς πρὸς Κύριον δεήσεσι.

Ὅλον σεαυτὸν ἀνέθηκας, τῷ Ζωοδότῃ Λόγῳ καὶ Παντοκράτορι, καὶ ὡς ἄμωμον, αὐτῷ προσήνεξαι κάρπωμα, ἐν πυρί τε καὶ ξίφει τελέσας σου, τὸν ἱερὸν ἀγῶνα, ὦ Ἰωάννη παμμακάριστε.

Ὕμνοις τὴν σεπτήν σου ἄθλησιν, ἣν ὁ Χριστὸς ἐδόξασε μακαρίζομεν, ἀλλὰ πρόσδεξαι, ὥσπερ θυμίαμα εὔοσμον, Ἰωάννη τὸν ὕμνον μου δέομαι, καὶ δίδου μοι πταισμάτων, ταῖς ἱκεσίαις σου συγχώρησιν.

### Θεοτοκίον.

Ὕψος τοῦ ἀφράστου τόκου σου, τίς ἐξειπεῖν δυνήσεται Παναμώμητε; σὺ γὰρ τέτοκας τὸν Ὑπερούσιον Κύριον, ἐν βροτείᾳ μορφῇ κόσμον σώζοντα· διὸ σε Θεοτόκε, ἀκαταπαύστως μεγαλύνομεν.

### Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Τὸν Ἀθλητὴν τὸν ἔκλαμπρον, Μαρτύρων τὸ ἀγλάϊσμα, τὸν μαργαρίτην Κυρίου, Ἰωαννίνων τὸ κλέος, τὸ ἄνθος τὸ ἀμάραντον, τῆς Ἐκκλησίας μέλψωμεν, καὶ πρὸς αὐτὸν βοήσωμεν· χαῖρε κλεινὲ Ἰωάννη, Νεομαρτύρων ἡ δόξα.

### Τῆς Ἑορτῆς, ἢ τὸ ἑξῆς Θεοτοκίον.

Τὸν Λόγον σωματώσασα, τὸν τοῦ Θεοῦ Πανάχραντε, τῆς τῶν παθῶν ἀλογίας, ἐρρύ-

www.tezaurliturgic.ro



σω τῷ τοκετῷ σου, τοὺς πίστει μεγαλύνοντας, τὸ ὑπὲρ νοῦν μυστήριον, τὸ τῆς κυοφορίας σου, Θεοχαρίτωτε Κόρη, ἀνθρώπων ἡ σωτηρία.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν Στίχους δ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος πλ. δ´. Ὢ τοῦ παραδόξου θαύματος!

Ὢ τοῦ παραδόξου θαύματος! νέος τῷ σώματι ὤν, τὸν ἀρχέκακον δράκοντα, ἀνδρικῶς κατέβαλε, διὰ πόνων ἀθλήσεως, ὁ Ἰωάννης ὁ χαριτώνυμος, Ἰωαννίνων τὸ θεῖον βλάστημα. Ὢ τῆς δυνάμεως, τοῦ Σταυροῦ σου Δέσποτα! δι᾽ ἧς καὶ νῦν, Μάρτυρες ἀήττητοι, τῷ κόσμῳ ὤφθησαν.

Νέε Ἀθλητὰ πανεύφημε, τῇ ἀγαπήσει Χριστοῦ, πτερωθεὶς τὴν διάνοιαν, ἄνθος τῆς νεότητος, καὶ ζωὴν τὴν ἐπίκηρον, σαφῶς παρεῖδες ὡς παρερχόμενα, καὶ πρὸς ἀγῶνας τοὺς τῆς ἀθλήσεως, χαίρων ἀνέδραμες, Ἰωάννη ἔνδοξε, τὸ τοῦ Χριστοῦ, ὄνομα τὸ ἅγιον, ἐπικαλούμενος.

Ὥσπερ προσφορὰ εὐπρόσδεκτος, καὶ ἱερεῖον σεπτόν, καὶ δεκτὸν ὁλοκάρπωμα, καὶ μύρον πολύτιμον, καὶ θυμίαμα εὔοσμον, Χριστῷ προσήχθης εἰς πῦρ ὡς ἔρριψαι, ἐν ᾧ καὶ ξίφει τὴν κάραν τέτμησαι· ὢ τῶν ἀγώνων σου, Ἰωάννη ἔνδοξε! ὢ τῆς πολλῆς, Μάρτυς καρτερίας σου! δι᾽ ἧς δεδόξασαι.

Χαίροις Νεομάρτυς ἔνδοξε, τῶν Ἀθλητῶν καλλονή, Ἐκκλησίας ὡραΐσμα, τῶν πιστῶν ἑδραίωμα, Ἰωάννη πανεύφημε, Ἰωαννίνων κλέος περίδοξον, καὶ τῆς Ἠπείρου πάσης ἐντρύφημα, τῆς Κωνσταντίνου δέ, θεῖον ἀγαλλίαμα· ἐν γὰρ αὐτῇ, τὸν τοῦ μαρτυρίου σου, ἀγῶνα ἤνυσας.

Δόξα... Ἦχος πλ. α´.

Τῇ μαρτυρικῇ σου λαμπρότητι, τὴν Ἐκκλησίαν φαιδρύνεις, Ἰωάννη χαριτώνυμε, χάριτος θείας κρίνον· λαμπρῶς γὰρ ἠγωνίσω, καὶ λαμπρὸν νίκης τρόπαιον ἦρας, κατὰ τῶν ἀντιπάλων, μαρτυρικὴν ἐπιδειξάμενος στερρότητα, ἐν νεότητι σώματος. Ἀλλ᾽ ὡς μαρτυρικῆς εὐκληρίας μέτοχος, ἀδιαλείπτως πρέσβευε, τῷ ἐλεήμονι Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν... Τῆς Ἑορτῆς, ἢ τὸ τοῦ Πάσχα, Ἀναστάσεως ἡμέρα... ἢ τὸ Θεοτοκίον. Μακαρίζομέν σε Θεοτόκε Παρθένε...

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ´ καὶ στ´ Ὠδή, ἢ τὰ Ἀντίφωνα τοῦ Πάσχα.

Ἀπόστολον ζήτει τῇ β´ Σεπτεμβρίου. Εὐαγγέλιον τοῦ Ἁγ. Γεωργίου, κατὰ Ἰωάννην.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...

Μεγαλυνάριον.

Ἄνθος εὐωδέστατον καὶ τερπνόν, τῶν Ἰωαννίνων, ἀνεδείχθης Μάρτυς Χριστοῦ, καὶ λαμπρῶς ἀθλήσας, εὐφραίνεις Ἰωάννη, χαρίτων εὐωδίᾳ, πιστῶν τὸ πλήρωμα.

Δίστιχον.

Χάριτος τῆς σῆς ὦ Ἰωάννη πλῆσον
Γεράσιμον μέλψαντα τὴν ἄθλησίν σου.